Τί δῆτ᾽ ἂν εἴη τοὐμποδὼν; οὐκ ἔσθ᾽ ὅ- A
πως
Οὐ τὸν Παλαμήδην ψυχρὸν ὄντ᾽ αἰσχύνε-
ται.
Τῷ δῆτ᾽ ἂν αὐτὸν προσαγαγοίμην δρά-
ματι
Εγᾦδα. τὴν καινὴν Ἑλένην μιμήσομαι.
Πάντως ὑπάρχει μοι γυναικεία στολή.
Γυν. Τί αὖ σὺ κυρκανᾷς; ἢ τί κοικύλλεις ἔ- B
χων;
Πικρὰν Ἑλένην ὄψει τάχ᾽ εἰ μὴ κοσμίως
Ἕξεις ἕως ἂν τῶν Πρυτάνεων τις φανῇ.

*Quid verò esse posset impedimento, non est quo-*
*modo*
*Non Palamedem frigidum existentem non e-*
*rubescat.*
*Qua verò ipsum adducerem fabula?*
*Ego scio, nouam fabulam, Helenam imitabor.*
*Prorsus adest mihi muliebris amictus.*
*MVL. Quid rursus tu moliris, vel quid machi-*
*naris?*
*Amaram Helenam videbis citò, nisi modestè*
*Te habebis, donec supremorum magistratuum*
*aliquis apparuerit.*

BOVRDINVS. Ιλλος.] στρεβλὸς, στραβὸς, τυφλός. Προσδοκῶν.] Εὐριπίδην, ὅστις οὐδέπω ἐπανέρχεται. Ἂν εἴη ἐμποδών.] ἐμποδίζοι. Ψυχρὸν ὄντα.] ἐνταῦθα καταχλευάζει ὁ Ἀριστοφάνης τινὸς τῶν τραγῳδιῶν τοῦ Εὐριπίδους, ἐν ᾗ εἰσήγαγε τὸν Παλαμήδην τὰ αὐτοῦ παθήματα ὀδυρόμενον. ψυχρὸν δὲ καλεῖ διὰ τὴν ψυχρότητα καὶ ἀπειροκαλίαν ταύτης τῆς τραγῳδίας. ψυχρὰ γὰρ λέγονται τὰ ἀπείρως γραφέντα, καὶ τοὺς ἀκροατὰς οὐ παροξύνοντα, οὐδ᾽ ἐπεγείροντα, οὔτ᾽ ἐπιχάρειάν τινα ἐπιφέροντα. Προσαγαγοίμην.] προσελκοίμην, προτρεποίμην, παρορμοίην ἂν δράματι. Καινήν.] νεάν τινα τραγῳδίαν. Στολή.] ἐσθὴς, ἱμάτιον γυναικεῖον, ὥστε μιμεῖσθαι, δύνασθαι ταύτην τὴν Ἑλένην, γυναῖκα οὖσαν. Τί αὖ σὺ κυρκανᾷς, ἢ τί κοικύλλεις ἔχων] τουτέστι τί κακοτεχνεῖς, τί μηχανᾷ καὶ κατασκευάζεις κακὸν, καὶ τί περιβλέπεις. κατὰ μεταφοράν. κυρκανᾶν γὰρ κυρίως σημαίνει διακυκᾶν, ταράσσειν. κοικύλλειν δ᾽ ἐστὶν τὸ περιβλέπειν. κύλα γὰρ τὰ ἐπάνω τῶν ὀφθαλμῶν ὀνομάζεται. οἱ δὲ, τὸ περιστρέφεσθαι καὶ διατρίβειν περιβλεπόμενον, ἄλλοι δὲ, φθονεῖν. κοίκες δὲ καλοῦνται ἐν Αἰθιοπίᾳ τὰ πεπραγμένα ἐκ τῶν φύλλων τοῦ δένδρου σκεύη, καὶ φορμοί. Πικράν.] χαλεπὴν τε καὶ δυσάρεστον. Ἕξεις.] προβιβάσει κοσμίως, καὶ παρέξει ἑαυτὸν εὐάρμοστον εὔτακτόν τε. C D E

Τῶν Πρυτάνεων] τῶν ἀρχόντων.

BISETVS. Ο δ᾽ οὐδέπω.] τουτέστιν ὁ Εὐριπίδης οὐδέπω με ἐλευθερώσων ἦλθε. κατ᾽ ἔλλειψιν τοῦ ῥήματος. τοὐμποδὼν δὲ, τὸ ἐμποδών. τί ποτ᾽ ἂν εἴη τὸ κώλυμα; τί κωλύει τὴν αὐτοῦ παρουσίαν; Αἰσχύνεται] τινὲς κακέμφατόν τι διὰ τούτων νοεῖσθαι νομίζουσιν. ἀλλ᾽ ἴσως τοῦτο ληπτέον ἁπλῶς, ἀντὶ τοῦ αἰσχύνεσθαι διὰ τὸν ἄγαν ψυχρὸν Παλαμήδην, τουτέστι δι᾽ ἐμὲ τὸν Μνησίλοχον, ὃς τὸν Παλαμήδην ἐν τῇ γραφῇ μου, καὶ τῇ ἀγγελίᾳ τῇ πρὸς αὐτὸν πεμφθείσῃ ψυχρῶς ἄγαν ἐμιμησάμην. διὸ νῦν καινὴν Ἑλένην μιμήσομαι, εἴπως τὸ πρᾶγμα βέλτιον ἐμοὶ χωροίη. καινὴν δὲ νῦν λέγει, ἐπεὶ καὶ αὐτὸς Εὐριπίδης ἐποίησε δρᾶμα, ὃ Ἑλένη καλεῖται. Τί κοικύλλεις ἔχων.] τί περιβλέπεις; ἢ κακοτεχνεῖς; τὸ δ᾽ ἔχων, Ἀττικῶς περιττόν. κοικύλλειν, περιβλέπειν. οἱ δὲ τὸ περιστρέφεσθαι, καὶ διατρίβειν περιβλεπόμενον. κύλα δὲ, καὶ κυλάδες κατὰ τὸν Εὐστάθιον, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς, ἐπικύλια δὲ, τὰ ἐπάνω τῶν ὀφθαλμῶν λέγεται. ὅθεν τὸ κυλοιδιᾶν, τὸ τὰ κύλα οἰδεῖν. Θεόκριτος εἰδ. α.

οἱ δ᾽ ὑπ᾽ ἔρωτος δηθὰ κυλοιδιόωντες.

ἐνταῦθα δὲ περὶ τὴν λέξεως ἐτυμολογίαν διὰ δύο λλ μέτρου χάριν ἴσως γέγραπται. Πρυτάνεων.] περὶ τούτων ἤδη διὰ πλειόνων εἴρηται.

## ΜΝΗΣΙΛΟΧΟΣ, ὡς ΕΛΕΝΗ.

Μν. ΝΕίλου μὲν αἵδε καλλιπάρθενοι F
ῥοαί,
Ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέ-
δον
Λευκῆς νοτίζει μελανοσυρμαῖον λεών.
Γυν. Πανοῦργος εἶ νὴ τὴν Ἑκάτην τὴν φωσφό-
ρον.
Μν. Ἐμοὶ δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος,
Σπάρτη. πατὴρ δὲ Τυνδάρεως. Γυν. Σοί γ᾽ ὤλε-
θρε G
Πατὴρ ἐκεῖνός ἐστιν; Φρυνώνδας μὲν οὖν.
Μν. Ἑλένη δ᾽ ἐκλήθην. Γυν. αὖθις αὖ γίγνῃ
γυνή,
Πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δί-
κην.

## MNESILOCHVS vt HELENA.

*MVL. Nilli quidem hæc pulchra virginea*
*fluenta sunt,*
*Qui pro cælesti pluuia Ægypti solum*
*Candida humectat, & irrigat nigrum popu-*
*lum.*
*MVL. Scelestus es per Hecaten luciferam.*
*MN. Mihi verò terra quidem patria non igno-*
*bilis*
*Sparta, pater verò Tyndarus. MVL. Tibiq́; ô*
*pernicies*
*Pater ille est, Phrynondas immò.*
*MN. Helena verò appellata sum. MVL. Rursus*
*sis fœmina,*
*Priusquàm alterius des simulationis muliebris*
*pœnas?*